UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XXIV

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

## XXIV ΥΠΕΡΗΦΑΝΙΑΣ ΚΔ´

1 Ἔστι δὲ ἡ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὑτοῦ τῶν
2 ἄλλων, ὁ δὲ ὑπερήφανος τοιόσδε τις, οἷος τῷ σπεύδοντι
3 ἀπὸ δείπνου ἐντεύξεσθαι φάσκειν ἐν τῷ περιπατεῖν. καὶ εὖ
4 ποιήσας μεμνῆσθαι φάσκειν. καὶ βαδίζων ἐν ταῖς ὁδοῖς τὰς
5 διαίτας κρίνειν ἐν ⟨τάχει⟩ τοῖς ἐπιτρέψασι. καὶ χειροτονού-
6 μενος ἐξόμνυσθαι τὰς ἀρχάς, οὐ φάσκων σχολάζειν. καὶ
7 προσελθεῖν πρότερος οὐδενὶ θελῆσαι. καὶ τοὺς πωλοῦντάς
τι ἢ μεμισθωμένους δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ'
8 ἡμέρᾳ. καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς
ἐντυγχάνουσι κάτω κεκυφώς, ὅταν δὲ αὐτῷ δόξῃ, ἄνω πάλιν.
9 καὶ ἑστιῶν τοὺς φίλους αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν
10 ὑφ' αὑτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. καὶ προαπο-
στέλλειν δέ, ἐπὰν πορεύηται, τὸν ἐροῦντα, ὅτι προσέρχεται.
11 καὶ οὔτε ἐπ' ἀλειφόμενον αὑτὸν οὔτε λούμενον οὔτε ἐσθίοντα
12 ἐᾶσαι ἂν εἰσελθεῖν. ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα
τῷ παιδὶ συντάξαι τὰς ψήφους διωθεῖν καὶ κεφάλαιον ποιή-
13 σαντι γράψαι αὐτῷ εἰς λόγον. καὶ ἐπιστέλλων μὴ γράφειν,
ὅτι 'χαρίζοιο ἄν μοι', ἀλλ' ὅτι 'βούλομαι γενέσθαι' καὶ
'ἀπέσταλκα πρὸς σὲ ληψόμενος' καὶ 'ὅπως ἄλλως μὴ ἔσται'
καὶ 'τὴν ταχίστην'.

XXIV. 2 αὑτοῦ V 5 βαδίζων Schweighäuser: βιάζειν V: del. Schneider 6 ⟨τάχει⟩ addidi χειροτονουμένοις V: corr. Schneider 8 θελήσας V: corr. recc. 9 ἢ καὶ μισθουμένους conieci (ἢ μισθουμένους praeiverat Stroth) 13 ὑφ' αὐτὸν V: αὑτῷ Blaydes αὐτῶν sic V 14 ἐπὰν V: ἐφ' ὃν ἂν Buecheler προ-έρχεται V: corr. Schneider 15 αὐτὸν V λούμενον scripsi: λουό-μενον V 16 ἐάσας V: corr. nescio quis 17 διωθεῖν V: διαθεῖναι Sheppard 18 γράφειν recc.: γράψειν V αὐτῷ V 19 χαρίζοιο, extrema in ras. V ὅτι, τι in ras. V 20 ληψό, suprascr. μν̊ (ambiguo compendio) V: ληψόμενον Ast: ληψομένους Foss

## ΔΕΙΛΙΑΣ ΚΕ΄ XXV

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ⟨ἂν⟩ εἶναι ὕπειξίς τις ψυχῆς 1
ἔμφοβος, ὁ δὲ δειλὸς ⟨τοιοῦτός⟩ τις, οἷος πλέων τὰς ἄκρας 2
φάσκειν ἡμιολίας εἶναι· καὶ κλύδωνος γενομένου ἐρωτᾶν,
εἴ τις μὴ μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου
ἀνακύπτων μὲν πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ
τὰ τοῦ θεοῦ, καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι
φοβεῖται ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ
τὸν χιτωνίσκον· καὶ δεῖσθαι πρὸς τὴν γῆν προσάγειν αὐτόν.
καὶ στρατευόμενος δὲ ⟨τοῦ⟩ πεζοῦ ἐκβοηθοῦντος τοὺς ⟨δημότας⟩ 3
προσκαλεῖν, κελεύων πρὸς αὑτὸν στάντας πρῶτον περιιδεῖν,
καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότεροί εἰσιν οἱ
πολέμιοι· καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας εἰπεῖν 4
πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς
σπουδῆς ἐπελάθετο, τρέχειν ἐπὶ τὴν σκηνήν, τὸν παῖδα
ἐκπέμψας καὶ κελεύσας προσκοπεῖσθαι, ποῦ εἰσιν οἱ πολέμιοι, ἀποκρύψαι αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον, εἶτα διατρίβειν
πολὺν χρόνον ὡς ζητῶν· καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν 5
τινὰ προσφερόμενον τῶν φίλων προσδραμὼν καὶ θαρρεῖν
κελεύσας ὑπολαβὼν φέρειν· καὶ τοῦτον θεραπεύειν καὶ περισπογγίζειν καὶ παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς μυίας
σοβεῖν καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ
σαλπικτοῦ δὲ τὸ πολεμικὸν σημήναντος καθήμενος ἐν τῇ
σκηνῇ ⟨εἰπεῖν⟩· 'ἄπαγ' ἐς κόρακας· οὐκ ἐάσει τὸν ἄνθρωπον

XXV. 2 ἂν recc.: om. V 3 ἐν φόβῳ Edmonds τοιοῦτος recc.: om. V 6 ἀνακύπτων V: ἀνακόπτοντος (*cursum inhibente*) recc.: ἀνακύπτοντος Ussing μὲν del. recc. 9 αὐτὸν V 10 ⟨τοῦ⟩ add. Wilamowitz πεζοῦ, suprascr. ῆ V τοὺς ⟨δημότας⟩ Ilberg (cf. § 6 v. 29): τὲ V 11 αὐτὸν V περιιδέσθαι Wilamowitz 12 πότεροι recc.: πότερον V 13 εἰπεῖν recc.: εἶπ̄, corr. (suprascr. ȣ) in εἵπου, V 17 ἀποκρύψας recc. ὑπὸ Casaubon: πρὸς V 18 ζητεῖν V: corr. Schneider ἐν τῇ σκηνῇ, καὶ transp. Corais 19 τινὰ initio vers. suppl. V 23 σαλπιστοῦ, priora in ras. V 24 ⟨εἰπεῖν⟩ suppl. Schneider